# ΕΠΙΣΤΟΛΗ ΙΩΑΝΝΟΥ ΤΡΙΤΗ

**1**, 2 ὁ πρεσβύτερος γαΐῳ τῷ ἀγαπητῷ ὃν ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ. ἀγαπητέ
περὶ πάντων εὔχομαί σε εὐοδοῦσθαι καὶ ὑγιαίνειν καθὼς εὐοδοῦταί σου
3 ἡ ψυχή. ἐχάρην γὰρ λίαν ἐρχομένων ἀδελφῶν καὶ μαρτυρούντων σου
4* τῇ ἀληθείᾳ καθὼς σὺ ἐν ἀληθείᾳ περιπατεῖς. μειζοτέραν τούτων οὐκ
5* ἔχω χαράν ἵνα ἀκούω τὰ ἐμὰ τέκνα ἐν ἀληθείᾳ περιπατοῦντα. ἀγαπητέ
6 πιστὸν ποιεῖς ὃ ἐὰν ἐργάσῃ εἰς τοὺς ἀδελφοὺς καὶ εἰς τοὺς ξένους. οἵ
ἐμαρτύρησάν σου τῇ ἀγάπῃ ἐνώπιον ἐκκλησίας οὓς καλῶς ποιήσεις
7* προπέμψας ἀξίως τοῦ θεοῦ. ὑπὲρ γὰρ τοῦ ὀνόματος ἐξῆλθον μηδὲν
8* λαμβάνοντες ἀπὸ τῶν ἐθνῶν. ἡμεῖς οὖν ὀφείλομεν ἀπολαμβάνειν τοὺς
9* τοιούτους ἵνα συνεργοὶ γινώμεθα τῇ ἀληθείᾳ. ἔγραψά τῇ ἐκκλησίᾳ ἀλλ’
10 ὁ φιλοπρωτεύων αὐτῶν διοτρέφης οὐκ ἐπιδέχεται ἡμᾶς. διὰ τοῦτο ἐὰν
ἔλθω ὑπομνήσω αὐτοῦ τὰ ἔργα ἃ ποιεῖ λόγοις πονηροῖς φλυαρῶν ἡμᾶς
καὶ μὴ ἀρκούμενος ἐπὶ τούτοις οὔτε αὐτὸς ἐπιδέχεται τοὺς ἀδελφοὺς
11* καὶ τοὺς βουλομένους κωλύει καὶ ἐκ τῆς ἐκκλησίας ἐκβάλλει. ἀγαπητέ
μὴ μιμοῦ τὸ κακὸν ἀλλὰ τὸ ἀγαθόν ὁ ἀγαθοποιῶν ἐκ τοῦ θεοῦ ἐστιν ὁ δὲ
12* κακοποιῶν οὐχ ἑώρακεν τὸν θεόν. δημητρίῳ μεμαρτύρηται ὑπὸ πάντων
καὶ ὑ’π αὐτῆς τῆς ἀληθείας καὶ ἡμεῖς δὲ μαρτυροῦμεν καὶ οἴδατε ὅτι ἡ
13* μαρτυρία ἡμῶν ἀληθής ἐστιν. πολλὰ εἶχον γράφειν ἀλλ’ οὐ θέλω διὰ
14* μέλανος καὶ καλάμου σοι γράψαι. ἐλπίζω δὲ εὐθέως ἰδεῖν σε καὶ στόμα
πρὸς στόμα λαλήσομεν εἰρήνῃ σοί ἀσπάζονταί σε οἵ φίλοι ἀσπάζου τούς
φίλους κατ’ ὄνομα.

---

**1** **v.4** μειζοτεραν τουτων ουκ εχω χαραν ινα ακουω τα εμα τεκνα εν τη[𝒱] αληθεια περιπατουντα. **v.5** αγαπητε πιστον ποιεις ο εαν εργαση εις τους αδελφους και τουτο[𝒱] εις[𝒯,𝔐,𝒦] τους[𝒯,𝔐,𝒦] ξενους. **v.7** υπερ γαρ του ονοματος αυτου[𝒦] εξηλθον μηδεν λαμβανοντες απο των εθνικων[𝒱] εθνων[𝒯,𝔐,𝒦]. **v.8** ημεις ουν οφειλομεν υπολαμβανειν[𝒱] απολαμβανειν[𝒯,𝔐,𝒦] τους τοιουτους ινα συνεργοι γινωμεθα τη αληθεια. **v.9** εγραψα τι[𝒱] τη εκκλησια αλλ ο φιλοπρωτευων αυτων διοτρεφης ουκ επιδεχεται ημας. **v.11** αγαπητε μη μιμου το κακον αλλα το αγαθον ο αγαθοποιων εκ του θεου εστιν ο δε[𝒯,𝒦] κακοποιων ουχ εωρακεν τον θεον. **v.12** δημητριω μεμαρτυρηται υπο παντων και υπο[𝒱] υπ[𝒯,𝔐,𝒦] αυτης της αληθειας και ημεις δε μαρτυρουμεν και οιδας[𝒱] οιδατε[𝒯,𝔐,𝒦] οτι η μαρτυρια ημων αληθης εστιν. **v.13** πολλα ειχον γραψαι[𝒱] σοι[𝒱] γραφειν[𝒯,𝔐,𝒦] αλλ ου θελω δια μελανος και καλαμου σοι γραφειν[𝒱] γραψαι[𝒯,𝔐,𝒦]. **v.14** ελπιζω δε ευθεως ιδειν[𝒯,𝔐,𝒦] σε ιδειν[𝒱] και στομα προς στομα λαλησομεν [𝒯](1:15) ειρηνη σοι ασπαζονται σε οι φιλοι ασπαζου τους φιλους κατ ονομα.